ποιῶν οὐ παύσομαι, ἕως ἂν σε πάλιν ἐπὶ τῆς προτέρας ἴδω φαιδρότητος. Εἰ γὰρ καὶ τοῖς ἀνθρώποις ἀδύνατον εἶναι δοκεῖ τοῦτο, ἀλλὰ τῷ θεῷ πάντα δυνατά. Αὐτὸς γάρ ἐστιν « ὁ ἐγείρων ἀπὸ τῆς γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, τοῦ καθῖσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ ». Αὐτός ἐστιν « ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην ». Μὴ τοίνυν ἀπογνῷς τῆς ἀρίστης μεταβολῆς. Εἰ γὰρ ὁ διάβολος τοσοῦτον ἴσχυσεν, ὥς ἀπὸ τῆς κορυφῆς ἐκείνης καὶ τοῦ ὕψους τῆς ἀρετῆς εἰς ἔσχατόν σε κακίας κατενεγκεῖν, πολλῷ μᾶλλον ὁ θεὸς ἰσχύσει πρὸς ἐκείνην σε πάλιν ἀνελκύσαι τὴν παρρησίαν· καὶ οὐ τοιοῦτον μόνον ἀλλὰ καὶ πολλῷ μακαριώτερον ἐργάσασθαι τοῦ πρότερον. Μόνον μὴ καταπέσῃς, μηδὲ τὰς χρηστὰς ἐκκόψῃς ἐλπίδας, μηδὲ πάθῃς τὰ τῶν ἀσεβῶν. Οὐ γὰρ τὸ τῶν ἁμαρτημάτων πλῆθος εἰς ἀπόγνωσιν ἐμβάλλειν εἴωθεν, ἀλλὰ τὸ ψυχὴν ἔχειν ἀσεβῆ. Διὰ τοῦτο ὁ Σολομὼν οὐχ ἁπλῶς εἴρηκεν ὅτι « πᾶς τις ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ » ἀλλὰ « ὁ ἀσεβὴς » μόνος. Ἐκείνων γὰρ μόνων τοῦτο τὸ πάθος ἐστίν, ἐπειδὰν εἰς τὸ βάθος ἔλθωσιν τῶν κακῶν. Καὶ τοῦτ' ἔστιν ὅπερ αὐτοὺς οὐκ ἀφίησιν ἀναβλέψαι καὶ ἐπανελθεῖν ὅθεν ἐξέπεσον. Ὁ γὰρ μιαρὸς οὗτος λογισμός, καθάπερ τις κύφων, ἐπικείμενος ἐπὶ τὸν αὐχένα τῆς ψυχῆς καὶ κάτω νεύειν καταναγκάζων αὐτήν, κωλύει πρὸς τὸν Δεσπότην ἀναβλέψαι τὸν αὐτῆς. Ἀνδρὸς δὲ γενναίου ἐστὶν καὶ θαυμαστοῦ συντρῖψαι τοῦτο τὸ ξύλον καὶ τὸν ἐπιθέντα αὐτῷ δήμιον ἀποκρούσασθαι καὶ τὰ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/28 UNIVERSITÄT LEIPZIG